ἐλυμνίαις. Et in Nauplio, νυμφικὸν ἐλύμνιον. Stephanus insulam facit Euboeæ quæ oppidum A habeat, feminino genere ἐλυμνίαν etiam indigitat.

Ὠδὴ, καὶ στροφὴ κώλων ιγ'.

Χο. Ἥδομαι ἥδομαι,
Κράνους ἀπηλλαγμένος
Τυροῦ τε καὶ κρομμύων.
Οὐ γὰρ φιληδῶ μάχαις,
Ἀλλὰ πρὸς πῦρ διέλκων
Μετ' ἀνδρῶν ἑταίρων φίλων.
Οὐκ ἐὰς τῶν ξύλων ἅττ' ἂν ᾖ
Δανότατα τοῦ θέρους
Ἐκπεπιεσμένα,
Κἀνθρακίζων τοὐρεβίνθου,
Τήν τε φηγὸν ἐμπυρεύων,
Χ' ἅμα τὴν Θρᾶτταν βινῶν,
Τῆς γυναικὸς λουμένης.

CH. Gaudeo gaudeo,
Carere cæpis licet
B Et caseo & caßide,
Pugnas enim non amo,
Sed placeret me simul cum
Reliquis esse sodalibus
Vvidis inferentem foco
Vstilia Cocula
Quæ arida presserit
Æstus: Et cicer iuuat me
Vrere, & torrere fagum,
C Permolentem Threiciam,
Dum lauat coniux mea.

Σχόλια. Ἥδομαι] κἀνταῦθα παράβασίς ἐστιν. ἀλλ' οὐκ ἔχει πάντα τὰ μέρη. μόνην δὲ τὴν ᾠδὴν καὶ στροφὴν. τὸ ἐπίρρημα. τὴν ἀντῳδὴν καὶ ἀντιστροφὴν καὶ τὸ ἀντεπίρρημα. ἔστι γοῦν τῆς παρούσης ᾠδῆς καὶ στροφῆς τὰ κῶλα ιγ. τὰ α θ χοριαμβικὰ ἡμιόλια. τὰ β γ δ ε ὅμοια ἐφθημιμερῆ ἐξ ἐπιτρίτων. τὸ ϛ ἀντισπαστικὸν γλυκώνειον. τὸ ζ ὅμοιον ὑπερκατάληκτον. τὸ η παιωνικὸν δίμετρον D ἀκατάληκτον. τὰ ι ια τροχαϊκὰ δίμετρα ἀκατάληκτα. τὰ γὰρ λοιπὰ ἐφθημιμερῆ. τὸ τελευταῖον παραγραφέσθω καὶ τῇ ἔσω διπλῇ σημειούσθω. τῇ αὐτῇ καὶ τὸ ἐπίρρημα. τοῦτο δὲ δῆλον ὡς τροχαϊκῶν ἐστι τετραμέτρων ιϛ. ἔχον καὶ ἐν ἐκθέσει κῶλα ὅμοια τρία. πλὴν τοῦ γ δίμετρα ἀκατάληκτα. ὡσαύτως δὲ καὶ τὸ ἀντεπίρρημα. ὑφ' ὃ ἡ ἔξω διπλῆ.

Bisetvs. Κράνους ἀπηλλαγμένος] Σ. κράνος, οὐδετέρως, ἐπικεφαλαία.

Σχόλια. Πρὸς πῦρ.] συμπίνω καὶ εὐωχοῦμαι πρὸς τὸ πῦρ. τουτέστι μέσον τῆς οἰκίας καθεζόμενος. Διέλκων] διάγων παρὰ τῇ ἑστίᾳ. ἅμα τε θερμαινόμενος. καὶ τῆς τοῦ E θερμοῦ διακονίας πλησίον ὤν.

Bisetvs. Τινὲς δὲ ἐνταῦθα οὐ διέλκων, ἀλλὰ διελθὼν γράφειν νομίζουσιν, ὅπερ ἐκ τῶν προηγουμένων, καὶ τῶν ἑξῆς ἴσως εἰκάσειας. εἰ δὲ διέλκων γράψῃς, ὑπακουστέον, τὸν χρόνον, ὡς ἐν τῷ διατρίβω. ἤγουν διάγων, καὶ διατρίβων τὸν χρόνον. ἑκατέρας δὲ γραφῆς ὁ αὐτός ἐστι νοῦς. εἰς λόγους μετὰ φίλων ἐλθὼν, φίλοις ἐντυγχάνων, καὶ ταῖς μετὰ τούτων ἐντεύξεσι, καὶ ὁμιλίαις, καὶ φίλαις λόγων κοινωνίαις τὰς τοῦ βίου δυσχερείας, καὶ κακοπαθείας κουφίζων, καταπραΰνων, καὶ τὸν χρόνον οὕτω διάγων. Φιληδῶ F μάχαις] εὐφραίνομαι, χαίρω, ἥδομαι ταῖς μάχαις. Εὖ κέας] παίζειν δοκεῖ πρὸς τὸ Ὁμηρικὸν Ὀδ. I.

Ἔνθαδε πῦρ κείαντες ἐθύσαμεν. καὶ Ἰλ. I.

Ἔνθαδε πῦρ κείαντο, τίθεντο δὲ δόρπον ἕκαστος.

Εὐστάθιος δὲ τὸ κείαντες ἑρμηνεύει, καύσαντες. ἀπὸ δὲ τοῦ κέω γίνεται κείω, ὃ δηλοῖ τὸ καίω, καὶ τὸ ἀνάπτω. Ἄλλως. τινὲς γράφουσιν, εὖ κέασας. κέασαι δὲ κατὰ τὸν αὐτὸν Εὐστάθιον ἐπὶ τῶν ξύλων σημαίνει τὸ κόψαι, ὡς ἐν Ὀδυσσείας Υ.

Εὖ, καὶ ἐπισταμένως κέασαν ξύλα.

G Καὶ δανὰ ξύλα, τὰ εἰς τὸ δαίεσθαι, εἴτε καίεσθαι ἐπιτήδεια, τουτέστι ξηρά. ὅθεν τὸ ὑπερθετικὸν, δανώτατα, τραπέντος τοῦ ο εἰς ω κατὰ τοὺς γραμματικοὺς κανόνας. καὶ τὰ ξύλα τὰ εὐκέαστα, τὰ εὔκλαστα, καὶ ξηρὰ, ἃ καὶ κάγκανα, καλεῖται οὕτω. κάγκανα δὲ, παρὰ τὸ καίειν, καὶ καίνειν, ὅτι εἰς τὸ καίεσθαι καίνονται, ἤγουν κόπτονται. Ἐκπεπιεσμένα] ὁ τῶνδε νοῦς ὅδε. τὰ ξύλα καλῶς καίων, ξύλα τοῦ θέρους ἐκκεκομμένα, κεασθέντα, καὶ σωρευθέντα, ὥστε ἄλλα ὑπ' ἄλλων ἐν τοῖς σωροῖς πιεσθῆναι. οὕτω δὲ δηλοῖ τὰ ξηρότατα ξύλα, καὶ πρὸς τὸ καίεσθαι ἐπιτηδειότατα. ὅπερ συμβαίνει τοῖς ξύλοις τοῦ θέρους κεκομμένοις, καὶ σωρευθεῖσι, καὶ διὰ τὸ θέρος ξηρανθεῖσι.

Chris. Ἀλλὰ πρὸς πῦρ] Ex Scholiasta legerem πρὸς τὸ πῦρ, & Dimetrum Trochaicum facerem, nisi doctior aliquis cum ratione contrà pertendat. Μετ' ἀνδρῶν] Malim reponere ἄλλων. Οὐκ ἐὰς τῶν ξύλων] Nullum ex his verbis bonum sensum venari possum, cúmque diutiùs me torsisset hic locus, conquisiui quâ potui exemplaria manu scripta. Atque adeò cùm aditus mihi patuisset in Bibliothecam Mediceam quæ Parisiis E est, quámque sub Reginæ matris præstantissimæ heroinæ auspiciis & stipendiis diligenti custodia tanquam vigil draco mala aurea tuetur & seruat vir doctus & optimus Bellebranchæus Antistes, incidi in exemplaria vetusta duo, sed incertior inde discessi quàm eram. Nam lectionem hanc deprehendi οὐκ ἐάσω nostra adhuc peiorem. Scio manuscriptos libros magnũ adferre has litteras tractantibus auxilium, sed profectò sæpè accidit vt falsas lectiones & corruptas quas habent plerunque vetustè scripti codices, amplectantur qui iudicio prauo paruóque lectionis vsu præditi F accedunt ad veteres illas tabulas, & quasi litterarum naufragia. Hoc eò dico quia in hoc quasi funambulo iuuentus nostra hodie tota ferè occupatur, & sunt qui ex manuscriptis suis tantummodo sapere se postulent, noménque docti ex aliorũ commendatione quibus libros suos vltrò commodãt, aucupantur, ipsi vix grammaticalibus principiis imbuti venditant nobis manuscriptiones, & quæ G quis sint audacissima inscitiæ mancipia, impudentibus tamen vindiciis emancipari gestiunt, litterarúmque fontes se habere autumant, ipsi pumicibus & spongiis expressis siccìores & maniores, ac denique in disciplinarum censu assidui esse volunt, licet pauperes proletarij aut etiã capite censi